# 08-02-2022 ΕΣΠΕΡΙΝΟΣ

† Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ στρατηλάτου, † Μνήμη τοῦ Ἁγίου Προφήτου Ζαχαρίου.

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## Ψαλμὸς ργʹ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ.

Ἦχος πλ. δ΄ Νη




## ΕΤΕΡΑ.




4. Κυ ρι ε ε ε λε η σοο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

## Εἰς τό, Κύριε ἐκέκραξα, ψάλλομεν Στιχηρὰ ι΄.

## Ψαλμὸς ρμ΄ (140)

### Ἦχος πλ. α΄ Πα




Κα τευ ϑυν ϑη τω η προ ο ο
ο σε ευ χη η η μου ως ϑυ μι α α μα α
ε νω ω ω πι ο ο ο ον σου ε παρ σις
τω ω ω ων χει ρω ω ων μου ου ϑυ σι ι
α ε ε ε σπε ε ρι ι νη η ει σα κου
σο ον μου Κυ υ ρι ι ε
Θου Κυ ρι ε φυ λα κην τω στο μα τι ι
μου και ϑυ ραν πε ρι ο χης πε ρι τα χει
λη μου
Μη εκ κλι νης την καρ δι αν μου εις λο
γους πο νη ρι ι ας του προ φα σι ζε σϑαι


προ φα σεις εν α μαρ τι ι αις
Συν αν θρω ποις ερ γα ζο με ε νοις
την α νο μι ι α αν και ου μη συν δυ α σω
με τα των ε κλε κτων αυ των
Παι δευ σει με δι και ος εν ε λε ει και ε
λεγ ξει με ε λαι ον δε α μα ρτω λου μη λι πα
να α τω την κε φα λη ην μου
Ο τι ε τι και η προ σευ χη μου εν ταις ευ
δο κι αις αυ των κα τε πο θη σαν ε χο με
να πε τρας οι κρι ται αυ των
Α κου σον ται τα ρη μα τα α μου ο


τι η δυν θη σαν ω σει πα χος γης ερ ρα γη ε
πι της γης δι ε σκορ πι σθη τα ο στα αυ των
πα ρα τον Α α δην
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι οφ θαλ
μοι μου ε πι σοι ηλ πι σα μη αν τα νε
λης την ψυ χη ην μου
Φυ λα ξον με α πο πα γι ι δος ης
συ νε στη σαν το ο μοι και α πο σκαν δα λων
των ερ γα ζο με νων την α νο μι ι αν
Πε σουν ται αι εν αμ φι βλη στρω αυ των
οι α μαρ τω λοι κα τα μο νας ει μι ε γω

ε ως αν πα ρε ελ θω

Φω νη η μου προς Κυ ρι ον ε κε κρα ξα

φω νη μου προς Κυ υ ρι ον ε δε η η θην

Εκ χε ω ε νω πι ον αυ του την δε η σιν

μου την θλι ψιν μου ε νω πι ον αυ του α παγ γε

λω

Εν τω εκ λει πειν εξ ε μου το Πνευ μα

μου και συ εγ νως τας τρι βους μου

Εν ο δω ταυ τη η ε πο ρευ ο μην

ε κρυ ψαν πα γι δα μοι

Κα τε νο ουν εις τα δε ξι α και ε πε βλε

πον και ουκ ην ο ε πι γι νω σκων με

Ἀ πω λε το φυ γη απ ε μου και ουκ

ε στι ν ο εκ ζη των την ψυ χη ην μου

Ἐ κε κρα ξα προς σε Κυ υ ρι ε ει ει

πα συ ει η ελ πις μου με ρι ις μου ει

εν γη ζων των

Προ σχες προς την δε η σι ιν μου

ο ο τι ε τα πει νω θην σφο δρα

Ρυ σαι με εκ των κα τα δι ω κον

των με ο τι ε κρα ται ω θη σαν υ περ ε

με

Ε ξα γα γε εκ φυ λα κης την ψυ χην
μου του ε ξο μο λο γη σα σθαι τω ο νο
μα τι σου

Ε με υ πο με νου σι δι και οι ε
ως ου αν τα πο δω ως μοι

Εκ βα θε ων ε κε κρα ξα σοι Κυ ρι
ε Κυ ρι ε ει σα α κου σον της φω
νης μου

Γεν η θη τω τα ω τα σου προ σε χον
τα εις την φω νην της δε η σε ως μου

Εἶτα ψάλλομεν τὰ παρόντα Στιχηρὰ τῶν Ἁγίων.

Στιχηρὰ Προσόμοια τοῦ Μάρτυρος

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν

Ε αν α νο μι ας πα ρα τη ρη σης Κυ ρι ε Κυ ρι ε τις υ πο στη σε ται ο τι πα ρα σοι ο ι λα σμος ε στιν

Χαίροις ὁ στρατιώτης Χριστοῦ, ὁ τροπωσάμενος ἐχθροῦ τὴν παράταξιν, τῷ ὅπλῳ τῆς εὐσεβείας, ὁ τῶν πιστῶν στηριγμός, ὁ πολλαῖς βασάνοις ὠνησάμενος, Θεοῦ τήν οὐράνιον, βασιλείαν Θεόδωρε, ἐν ᾗ χορεύων, καὶ μεθέξει θεούμενος, καὶ λαμπόμενος, καθαραῖς διαδόσεσι, μέμνησο τῶν τιμώντων σου, τὴν μνήμην τὴν ἔνδοξον, καὶ προσκυνούντων ἐν πίστει, τὴν τῶν λειψάνων σου λάρνακα, ἀφ᾽ ἧς ἀναβλύζει, τοῖς αἰτοῦσιν εὐρωστία, καὶ μέγα ἔλεος.

Ε νε κεν του ο νο μα τος σου υ

πε μει να σε Κυ ρι ε υ πε μει νεν

η ψυ χη μου εις τον λο γον σου ηλ πι

σεν η ψυ χη η μου ε πι τον Κυ ρι ον

Χαίροις ἡ ἱερὰ κεφαλή, τῶν Ἀθλοφόρων τὸ σεπτὸν ἀκροθίνιον, ὁ κόσμος τῆς Ἐκκλησίας, ὁ καθαιρέτης ἐχθροῦ, δωρεῶν ἐνθέων ὁ ἐπώνυμος, λαμπτὴρ τὴν ὑφήλιον, καταυγάζων τοῖς θαύμασι, στῦλος ὁ μέγας, διαμείνας ἀσάλευτος, ταῖς προσρήξεσι, τῶν ἀπείρων κολάσεων, λόγχῃ τῆς καρτερίας σου, ὁ κτείνας τὸν δράκοντα, ὁ ἀριστεύσας μεγάλως, ὡς στρατιώτης ἀήττητος, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Α πο φυ λα κης πρω ι ας με χρι νυ

κτος α πο φυ λα κης πρω ι ας ελ πι

σα τω Ι σρα ηλ ε πι τον Κυ ρι ον

Ὅπλῳ τοῦ ζωηφόρου Σταυροῦ, τὴν τῶν εἰδώλων συντριβὴν ἐργασάμενος, μαστίγων ὑπέστης πεῖραν, καὶ ἐπὶ ξύλου ταθείς, σπαραγμοὺς παμμάκαρ ἐκαρτέρησας, ὑφ᾽ ὧν συντριβόμενος, καὶ λαμπάσι φλεγόμενος, σταυρῷ ὑψώθης, τιτρωσκόμενος βέλεσι, καὶ τὰ ὄμματα, ὑπ᾽ αὐτῶν ἐκτυφλούμενος· ὅθεν σε μακαρίζομεν, καλῶς ἐναθλήσαντα, καὶ οὐρανίων στεφάνων, ἐπιτυχόντα Θεόδωρε, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

## Στιχηρὰ Προσόμοια τοῦ Προφήτου
## Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν Ἅγιοι




Ἔχων πολιτείαν ἰσάγγελον, τοῖς Ἀγγέλοις θεοφάντορ, συνωμίλεις προφανῶς, δι΄ αὐτῶν τὰ ὑπὲρ νοῦν καταλαμπόμενος τὸν νοῦν, συμβόλων, θαυμασίων ἀνακάθαρσιν, μεγάλων, Μυστηρίων ἀποκάλυψιν, προφητικὴν προαγόρευσιν, πνευματικὴν ἀνακαίνισιν. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.



Ἄγγελος ἐφάνης ἐπίγειος, ἐπὶ γῆς τοὺς οὐρανίους, συλλαλοῦντας ἐσχηκώς, θεωρὸς ὑπερκοσμίων, θεαμάτων γεγονώς. Λυχνία, νοητὸν φῶς ἀπαστράπτουσα. Ἐλαία, ψαλμικῶς εἰπεῖν κατάκαρπος, θεουργικὴν ἀποστάζουσα, τοῖς εὐσεβέσι πιότητα· Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.




Τῆς ἐλπιζομένης θεώσεως, ἀπολαύων ὡς Προφήτης, ἀληθέστατος Θεοῦ, καὶ τρανῶς τῆς ἀϊδίου, ἐμπιπλάμενος τρυφῆς, καὶ δόξαν ἀνεκλάλητον θεώμενος, καὶ κάλλους διαδήματι κοσμούμενος, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε, δυσώπησον ἐκτενέστερον, θεόληπτε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Δοξαστικὸν, Τοῦ Μάρτυρος
### Ἦχος πλ. α´

Σήμερον ἀνέτειλεν ὑπὲρ τὸν Ἑωσφόρον, ἡ σεβάσμιος μνήμη τοῦ ἀθλοφόρου Χριστοῦ, τῶν πιστῶν τὰς καρδίας ἀνενδότως φωτίζουσα, καὶ τὰ νέφη τῶν ψυχῶν ἀποδιώκουσα, τῇ ἐνεργείᾳ καὶ χάριτι τοῦ Πνεύματος, πρὸς ὃν φιλομάρτυρες ἀνακράξωμεν. Χαίροις, ὁ τοῖς πιστοῖς ἀναδειχθεὶς θεοδώρητος χάρις, καὶ τῶν θαυμάτων τὰ πλήθη ἐφαπλῶν, τοῖς εἰς σὲ προστρέχουσι, Θεόδωρε μακάριε. Χριστὸν ἀπαύστως πρεσβεύων μὴ ἐλλίπῃς, τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, τοὺς ἐν πίστει ἐκτελοῦντας, τήν πάνσεπτον μνήμην σου.

Ἦχος Πα



η μη του Α α θλο ο φο ο ο ο ρου Χρι ι

ι στου πα των Πι στων τας κα αρ δι ι ι ας χα

αν εν δο τω ως φω τι ι ι ι ζου ου ου ου σα

χα και τα νε φη των ψυ χων α πο ο δι ω

ω ω ω κου ου ου ου σα τη ε ε νε ερ

γει ει ει α και χα α ρι τι ι του ου Πνε ε ε

ευ μα α α α τος πα προς ον φι λο μαρ τυ ρες

α να κρα α ξω ω ω ω μεν χα χαι αι αι ροις ο

τοις πι στοις α α να α δει ει χθεις θε ο ο δω ω

ω ω ρη τος χα α α α ρις χα και των θαυ

μα των τα πλη η η θη η η ε φα α πλων Δ

τοις εις σε ε προσ οσ τρε χου ου σι Θε ο ο δω

ρε ε μα α κα α α α ρι ι ι ι ε Χρι στο

ον α πα αυ στως πρε σβευ ων μη η η η ε ελ

λι ι ι πης των αι ω νι ω ων α γα θων

ε ε πι τυ υ χειν τους εν πι στει ει εκ τε ε λου

ου ουν τας την παν σε πτον μνη η η η η μη

ην σου

## Θεοτοκίον, Τῆς Ἑορτῆς
### Ἦχος πλ. α΄

Ὁ παλαιὸς ἡμερῶν, νηπιάσας σαρκί, ὑπὸ Μητρὸς Παρθένου τῷ Ἱερῷ προσάγεται, τοῦ οἰκείου νόμου πληρῶν τὸ ἐπάγγελμα, ὃν Συμεὼν δεξάμενος ἔλεγε· Νῦν ἀπολύεις ἐν εἰρήνῃ κατὰ τὸ ῥῆμά σου τὸν δοῦλόν σου· εἶδον γὰρ οἱ ὀφθαλμοί μου, τὸ σωτήριόν σου Κύριε.

Ἦχος Πα



ο ο μου ϙ πλη η ρων το ο ε πα α α α

αγ γε ε ε ελ μα ϙ ο ο ο ο ον Συ με ε

ων ϙ δε ξα α με νο ος ε ε ε λε ε

ε ε γε ϙ νυν α πο λυ υ ει εις εν ει ει

ρη η η η η νη ϙ κα τα το ρη μα σου

ου ου τον δου ου ου ου ου λο ο ο ον σου ϙ

ει δον γαρ οι ο φθα αλ μοι οι οι μου ϙ το σω

τη η ρι ο ον σου Κυ υ ρι ε ε ε ε ε ε ε

ε ϙ

# Εἴσοδος, Φῶς ἱλαρόν.

Ἦχος Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

## Προκείμενον.
## Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος πλ. α΄ Νη




**Στίχ. Οἱ** ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον.



Προκείμενον.
Τῇ Δευτέρᾳ ἑσπέρας.
Ἦχος δ΄.

Ἦχος Δι




Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τὸ τρίτον.



## Προκείμενον.
## Τῇ Τρίτῃ ἑσπέρας.
## Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μου (Δὶς)

Στίχ: Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω η ης μου ου ου

## Προκείμενον.
## Τῇ Τετάρτῃ ἑσπέρας.
### Ἦχος πλ. α' Κε

Ο Θε ος εν τω ο νο μα τι σου σω σον με και εν τη δυ να μει σου κρι νει ει ει εις με (Δίς)

Στίχ. Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα τι σου σω σον με και εν τη δυ να μει σου κρι νει ει εις με ε ε

## Προκείμενον.
## Τῇ Πέμπτῃ ἑσπέρας.

### Ἦχος λ π Βου

Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γην (Δίς)

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γη η ην

## Προκείμενον.
## Τῇ Παρασκευῇ ἑσπέρας.
### Ἦχος Βαρὺς

Ὁ Θε ος αν τι λη πτωρ μου ει το ε λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.

Τὸ τρίτον. Ὁ Θε ος αν τι λη η πτωρ μου ει ει το ε λε ο ος σου προ φθα α σει με ε ε

Εἴπωμεν πάντες ἐξ ὅλης της ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν , καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε ἐλέησον (ἅπαξ)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν , τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός

σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. `Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς.
Ἦχος πλ. β´
Τριήμερος ἀνέστης Χριστὲ

Ὑπόδεξαι φησὶ Συμεών, τὸν Κτίστην τῶν ἁπάντων χερσίν, ὦ Πρεσβύτα, ἀγκαλίζου τὸν Χριστόν, ὃν ἡ Παρθένος Κόρη, ἐγέννησεν ἀσπόρως, εἰς ἀγαλλίασιν τοῦ γένους ἡμῶν.

Στίχ. Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ Κύριε, ὅτι εἶδον οἱ ὀφθαλμοί μου, τὸ σωτήριόν σου,

Τοῦ νόμου Ποιητὴν καὶ Θεόν, ὃν φρίττουσιν Ἀγγέλων πληθύς, συνελθόντες, ἀνυμνήσωμεν λαοί, τὸν μόνον εὐεργέτην, καὶ νόμου Νομοδότην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Στίχ. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Νῦν ἀπολύεις Δέσποτα, τὸν δοῦλόν σου ὡς εἴρηκας, ἐν εἰρήνῃ, ὅτι εἶδόν σε Χριστέ, τὸ φῶς τὸ πρὸ αἰώνων, δεσμοῦ με τοῦ σαρκίου, εἰς ἀπολύτρωσιν ἐθνῶν Ἰσραήλ.

Δοξαστικὸν, Τοῦ Μάρτυρος
Ἦχος πλ. δ´

Τῶν τοῦ Θεοῦ δωρεῶν ὡς ἐπώνυμον, καὶ τῆς αὐτοῦ κληρονόμον μακαριότητος, πάντες

εὐφημήσωμεν πιστοί, καὶ μακαρίσωμεν ἐπαξίως, Θεόδωρον τὸν γενναῖον μεγαλομάρτυρα, τῆς οἰκουμένης τὸν ὑπέρμαχον· πρεσβεύει γὰρ Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος Νη




ε ε πα α α ξι ι ι ως Θε ο δω ω ρον λ τον
γεν ναι ον με γα α λο ο μα α αρ τυ
υ υ υ ρα της οι κου με νης τον υ πε ε
ε ερ μα α α α χον Δι πρε σβευ ει ει γαρ Χρι
στω ω ω τω Θε ε ω υ πε ε ερ των ψυ χω ω
ω ων η η η η μων Δι

### Τῆς Ἑορτῆς
### Ἦχος πλ. δ΄

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ, σήμερον τῷ θείῳ ἱερῷ, κατὰ νόμον προσφερόμενος, πρεσβυτικαῖς ἐνθρονίζεται ἀγκάλαις, καὶ ὑπὸ Ἰωσὴφ εἰσδέχεται δῶρα θεοπρεπῶς, ὡς ζεῦγος τρυγόνων τὴν ἀμίαντον Ἐκκλησίαν, καὶ τῶν ἐθνῶν τὸν νεόλεκτον λαόν, περιστερῶν δὲ δύο νεοσσούς, ὡς ἀρχηγὸς Παλαιᾶς τε καὶ Καινῆς. Τοῦ πρὸς αὐτὸν χρησμοῦ δὲ Συμεών, τὸ πέρας δεξάμενος, εὐλογῶν τὴν Παρθένον, Θεοτόκον Μαρίαν, τὰ τοῦ πάθους σύμβολα, τοῦ ἐξ αὐτῆς προηγόρευσε, καὶ παρ΄ αὐτοῦ ἐξαιτεῖται τὴν ἀπόλυσιν βοῶν· Νῦν ἀπολύεις με Δέσποτα, καθὼς προεπηγγείλω μοι, ὅτι εἶδόν σε τὸ προαιώνιον φῶς, καὶ Σωτῆρα Κύριον τοῦ Χριστωνύμου λαοῦ.


Ἦχος Νη
Και νυ υν και α ει και εις
του ους αι αι ω ω ω νας των αι αι ω ω ω
νων α α α μην
Ο τοις Χε ρου βιμ ε πο ο ο χου με ε
νος και υ μνου με νος υ πο τω ων Σε ε ε ε
ρα α α φιμ ση με ε ρον τω θει ει ω
Ι ε ε ρω κα τα νο μον προ σφε ε ε
ρο με ε νος πρε σβυ τι και αις εν θρο ο νι ι
ζε ται α α αγ κα α α λαις και υ
πο Ι ω σηφ ει ει εισ δε χε ε ται δω
ρα θε ε ο πρε ε πως ως ζευ γος τρυ υ γο

ο ο νω ων την α μι α αν τον εκ κλη η

η σι ι ι αν και την ε θνω ων τον νε ο

λε ε κτο ο ο ον λα α α ον πε ρι στε

ρων δε δυ υ ο νε ο οσ σους ως αρ χη γο

ος Πα λαι ας τε ε και αι αι αι Και αι αι νης

του προς αυ τον χρη σμου ου δε Συ με ε

ων το πε ρα ας δε ε ξα α α με ε ε

ε νος ευ λο γων τη ην Πα αρ θε ε ε νο

ον Θε ο το κον Μα α α ρι ι ι αν τα

του πα θου ου ους συμ βο ο λα του εξ αυ της

προ η η γο ο ο ο ρε ε ευ σε και παρ

αυ του ε ξαι αι τει ει ει ται αι Δ την α πο

ο λυ σιν βο ο ων Δ νυυν α πο λυ υ ει εις με

ε Δε ε ε σπο ο ο ο τα Δ κα θω ως

προ ε πηγ γει ει ει ει λω ω ω μοι Δ ο τι ι ει

δο ον σε Δ το προ αι αι αι ω ω ω νι ι

ο ο ον φω ως Νη και Σω τη η ρα α Κυ ρι ι

ον του Χρι στο νυ υ υ υ μου λα ου ου ου

ου Δ

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,

Ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον. Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Ἀπολυτίκιον

## Ἀπολυτίκιον τοῦ Μάρτυρος
### Ἦχος δ'
### Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ...

Στρατολογίᾳ ἀληθεῖ Ἀθλοφόρε, τοῦ οὐρανίου στρατηγὸς Βασιλέως, περικαλὴς γεγένησαι Θεόδωρε· ὅπλοις γὰρ τῆς πίστεως, παρετάξω ἐμφρόνως, καὶ κατεξωλόθρευσας, τῶν δαιμόνων τὰ στίφη, καὶ νικηφόρος ὤφθης ἀθλητής· ὅθεν σε πίστει ἀεὶ μακαρίζομεν.

### Δόξα... (Τὸ ὡς ἄνω)
### Ἦχος πλ. δ' Δι



φη καινι κη φο ρος ω φθης α θλη της

ο θεν σε πι στει α ει μα κα ρι ζο μεν

Δόξα... (Τό ὡς ἄνω)

## Καὶ νῦν...

### Ἀπολυτίκιον τῆς Ἑορτῆς

### Ἦχος α΄

Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

## Καὶ νῦν...,

### Ἀπολυτίκιον τῆς Ὑπαπαντῆς.

### Ἦχος Πα




ξα α με νος εν α γκα λαις τον ε λευ θε ρω
την των ψυ χων η μων χα ρι ζο με νον η
μιν και την α να α στα α σι ι ι ι ιν

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ´), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος διά τήν ἡμῶν σωτηρίαν, Χριστός ὁ ἀληθινὸς Θεὸς ἡμῶν

ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, ἧς τὰ Εἰσόδια ἑορτάζομεν, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τὸν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

## Τόν Εὐλογοῦντα...




## Τὸν Δεσπότην καί Ἀρχιερέα




Ἀπόλυσις.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.